599 Θύραθεν: ἔξωθεν, ἐγγύς. ἦν δὲ ἡ μανία οὐ θύραθεν, ἀλλ' Σ
ἔνδοθεν ἐλύσσα καὶ ἐμαίνετο ἀνὴρ φύσει πονηρὸς καὶ ἐξουσίαν ἔχων. E

600 Θύρασιν· Ἀριστοφάνης. ὁ γὰρ βωμὸς θύρασι καὶ δή. ἀντὶ τοῦ Ar.
ἐξ ἑτοίμου ἐστὶ παρεσκευασμένος.

601 Θυραυλεῖν: πλανᾶσθαι κατὰ τὴν χώραν, ἢ παρὰ ταῖς θύραις Σ
αὐλίζεσθαι, ὅπερ ἐστὶ καθέζεσθαι καὶ προσεδρεύειν. ὡς ἂν θηρώσης E
κόρης καὶ θυραυλούσης, τρεφομένη μὲν ὄμβροις, τινασσομένη δὲ ἀνέμοις κόμη πολλὴ ἦν καὶ βαθεῖα.

602 Θυργωνίδαι: δῆμος Πτολεμαΐδος φυλῆς. Harp.

603 Θυραῖος: ξένος, ὁ ἔξω τῆς θύρας. Θυρεὸς δὲ τὸ ὅπλον. Δ

604 Θύραι οὐρανοῦ: ἡ ἄνωθεν χορηγία. μεταφορικῶς ἀπὸ τῶν Thdr.
ταμιείων. Δαβίδ· καὶ θύρας οὐρανοῦ ἠνέῳξε.

605 Θυρεός: ὅπλον. τὸ παρ' ἡμῖν σκουτάριον. καὶ Θυρεοφόροι, Δ Ps.
οἱ θυρεοὺς ἔχοντες· οἱ δὲ ἁπλῶς δορατοφόροι. ἐν Ἐπιγράμμασι·
ὀκτώ τοι θυρεούς, ὀκτὼ κράνη, ὀκτὼ ὑφαντοὺς θώρηκας. Anth

606 Θυρεπανοίκτης: Κράτης ὁ Θηβαῖος. ἐκλήθη δ' οὕτω διὰ τὸ Hesy.
ἐπεισιέναι εἰς πάντα, οὗπερ ἐβούλετο, οἶκον.

607 Θύρετρα: θυρώματα, ἢ ἀραιόθυρα. Σ

608 Θυρηβόλος: ὁ τέκτων. Δ

609 Θύρηφιν: ἔξωθεν, ἔξω. Σ

610 Θυρίς, θυρίδος. καὶ Θυριώτης, ὁ ἔξω τῆς θύρας. καὶ Δ
Θύριον, ἡ θύρα.

611 Θυροκοπεῖται. καὶ Θυροκόπος, ὁ τὴν θύραν κόπτων. Δ
ὅτι Ἀριστομένης, ὁ Ἀθηναῖος, θυροποιὸς ἐπεκλήθη. Suid.

612 Θυρωρός: ὁ φύλαξ τῆς θύρας. λέγεται δὲ καὶ θηλυκῶς. Δ

613 Θύρσος: βακχικὴ ῥάβδος. ἢ λαμπάς, ἣν ἐβάσταζον εἰς τιμὴν Σ